## Τοῦ αὐτοῦ.

Ὡς πάρος ἀελίου, νῦν καίσαρος ἡ ῥόδος εἰμὶ
    Νᾶσος· ἴσον δ᾽ αὐχῶ φέγγος ἀπ᾽ ἀμφοτέρων.
Ἤδη σβεννυμέναν με νέα κατεφώτισεν ἀκτὶς,
    Ἅλιε, καὶ παρὰ σὸν φέγγος ἔλαμψε νέρων.
Πῶς εἴπω; τίνι μᾶλλον ὀφείλομαι; ὃς μὲν, ἔδειξεν
    Ἐξ ἁλός· ὃς δ᾽ ἤδη ῥύσατο δυομένην.

---

## ΕΙΣ ΟΙΝΟΝ, κεφ. νθ.

### ΑΝΤΙΠΑΤΡΟΥ.

Ὕδαλος ἀκρήτου κεκορημένῳ ἄγχι παραστὰς
    Χθιζὸν ἐμοὶ κοιτέων βάκχος ἔλεξε τάδε,
Εὕδεις ἄξιον ὕπνον ἀπεχθομένων ἀφροδίτῃ.
    Εἰπέ μοι, ὦ νήφων, πεύθεαι ἱππολύτου;
Τάρβει μὴ τι πάθῃς ἐναλίγκιον. ὣς ὁ μὲν εἰπὼν
    Ὤχετ᾽· ἐμοὶ δ᾽ ἀπὸ τῆς οὐκ ἔτι τερπνὸν ὕδωρ.

### ΦΙΛΙΠΠΟΥ.

Εὐθαλέα πλάτανόν με νότου βαρυλαίλαπες αὖραι
    Ῥίζης ἐξ αὐτῆς ἐστόρεσαν δαπέδῳ.
Λουσαμένη βρομίῳ δ᾽ ἔστην πάλιν, ὄμβρον ἔχουσα
    Χείματι καὶ θάλπει, τοῦ διὸς ἡδύτερον.
Ὀλλυμένη δ᾽ ἔζησα· μόνη ἣ πιοῦσα λυαῖον,
    Ἄλλων κλινομένων, ὀρθοτέρη βλέπομαι.

### ΜΕΛΕΑΓΡΟΥ.

Αἱ νύμφαι τὸν βάκχον, ὅτ᾽ ἐκ πυρὸς ἥλαθ᾽ ὁ κοῦρος,
    Νίψαν, ὑπὲρ τέφρης ἄρτι κυλιόμενον.

Τοὔνεκα